9 εὐλογία γὰρ πατρὸς στηρίζει οἴκους τέκνων,
κατάρα δὲ μητρὸς ἐκριζοῖ θεμέλια.
10 μὴ δοξάζου ἐν ἀτιμίᾳ πατρός σου,
οὐ γάρ ἐστίν σοι δόξα πατρὸς ἀτιμία·
11 ἡ γὰρ δόξα ἀνθρώπου ἐκ τιμῆς πατρὸς αὐτοῦ,
καὶ ὄνειδος τέκνοις μήτηρ ἐν ἀδοξίᾳ.
12 τέκνον, ἀντιλαβοῦ ἐν γήρᾳ πατρός σου
καὶ μὴ λυπήσῃς αὐτὸν ἐν τῇ ζωῇ αὐτοῦ·
13 κἂν ἀπολείπῃ σύνεσιν, συγγνώμην ἔχε
καὶ μὴ ἀτιμάσῃς αὐτὸν ἐν πάσῃ ἰσχύι σου.
14 ἐλεημοσύνη γὰρ πατρὸς οὐκ ἐπιλησθήσεται
καὶ ἀντὶ ἁμαρτιῶν προσανοικοδομηθήσεταί σοι.
15 ἐν ἡμέρᾳ θλίψεώς σου ἀναμνησθήσεταί σου·
ὡς εὐδία ἐπὶ παγετῷ, οὕτως ἀναλυθήσονταί σου αἱ ἁμαρτίαι.
16 ὡς βλάσφημος ὁ ἐγκαταλιπὼν πατέρα,
καὶ κεκατηραμένος ὑπὸ κυρίου ὁ παροργίζων μητέρα αὐτοῦ.
17 Τέκνον, ἐν πραΰτητι τὰ ἔργα σου διέξαγε,
καὶ ὑπὸ ἀνθρώπου δεκτοῦ ἀγαπηθήσῃ.
18 ὅσῳ μέγας εἶ, τοσούτῳ ταπείνου σεαυτόν,
καὶ ἔναντι κυρίου εὑρήσεις χάριν·
20 ὅτι μεγάλη ἡ δυναστεία τοῦ κυρίου
καὶ ὑπὸ τῶν ταπεινῶν δοξάζεται.
21 χαλεπώτερά σου μὴ ζήτει
καὶ ἰσχυρότερά σου μὴ ἐξέταζε·
22 ἃ προσετάγη σοι, ταῦτα διανοοῦ,
οὐ γάρ ἐστίν σοι χρεία τῶν κρυπτῶν.
23 ἐν τοῖς περισσοῖς τῶν ἔργων σου μὴ περιεργάζου·
πλείονα γὰρ συνέσεως ἀνθρώπων ὑπεδείχθη σοι.
24 πολλοὺς γὰρ ἐπλάνησεν ἡ ὑπόλημψις αὐτῶν,
καὶ ὑπόνοια πονηρὰ ὠλίσθησεν διανοίας αὐτῶν.
26 καρδία σκληρὰ κακωθήσεται ἐπ' ἐσχάτων,
καὶ ὁ ἀγαπῶν κίνδυνον ἐν αὐτῷ ἀπολεῖται.
27 καρδία σκληρὰ βαρυνθήσεται πόνοις,
καὶ ὁ ἁμαρτωλὸς προσθήσει ἁμαρτίαν ἐφ' ἁμαρτίαις.

$10^2$ πατρος ατιμια compl.] προς ατιμιαν BSA: προς ex $\overline{\pi\rho o\varsigma}$, cf. 4 23 || $12^2$ τη ζωη αυτου] παση ισχυι σου S*†: ex 13 || $14^1$ πατρος] + σου S* || $15^1$ σου $1^0$ > S* | $15^2$ επι] εν S*† | αναφθησονται S*† || $16^2$ κεκατηρ.] κε > S | υπο] παρα A† || $17^1$ εν πραυτ./τα εργα σου] tr. A | διεξαγαγε S* || 18] + (19) πολλοι εισιν υψηλοι και επιδοξοι, αλλα πραεσιν αποκαλυπτει τα μυστηρια αυτου $S^s$ || $20^1$ του > SA || $21^1$ χαλεπ.] βαθυτερα $S^c$† || $24^2$ και > S*† | διανοιαν SA | fin.] + (25) κορας μη εχων απορησεις φωτος, γνωσεως δε αμοιρος ων μη επαγγελλου pau. || $26^1/26^2$] tr. BS*A | $26^2$ απολ.] εμπεσειται B† || $27^2$ αμαρτιαις] -τιας S*